501. *προκαλινδεῖσθαι*] 'verbum vetus Ionum et Atticorum est *κυλίνδω*. certam habet auctoritatem Eq. 1249. Eccl. 208. Nub. 375. Pac. 134. *κυλινδεῖν* et *κυλινδεῖσθαι* sublestae est fidei. praeterea (antiqui habebant) *ἀλίνδω* et *καλινδοῦμαι*, *προκαλινδοῦμαι*. post Alexandrum *κυλινδῶ* et *κυλινδοῦμαι*.' '*προκυλίνδομαι* et *προκαλινδοῦμαι* sic differunt, ut hoc *adulantis* sit et *adorantis*, illud *supplicis*.' Cobet. 'Der Grieche achtete, wie es scheint, sehnsüchtiger noch als wir auf das erste Erscheinen der Vögel, deren Rückkehr den Frühling verkündigt. So wurde der *noch früher als die Schwalbe* erscheinende *Weihe* mit Jubel begrüsst. Arist. Vög. 713. Die ausgelassene Freude über seine Ankunft wird 501 durch *προκαλινδεῖσθαι τοῖς ἰκτίνοις* ausgedrückt.' Becker. Ebenso wurde der Storch begrüsst. Philostr. Epist. 44: *τὸν δὲ πελαργὸν οἱ πρῶτοι θεασάμενοι καὶ προσκυνοῦσι*. 'In Deutschland finden wir noch heute eine ähnliche Sitte. Hören die Bauern den Kukuk zum ersten Male rufen, so wälzen sie sich ein paarmal auf der Erde, . . in der Hoffnung das Jahr hindurch von Rückenschmerzen frei zu bleiben', oder 'weil es Glück und Freude bedeute, wenn der Vogel nach geübtem Brauch fortfahre zu guchzen'. Mannhardt in Haupt's Zeitschr. XII S. 400. — Peithetäros aber fasst das Zeichen der Freude hier als ein Zeichen der Unterwerfung unter die Herrschaft der Vögel.

ὀβολὸν κατεβρόχθισα· κᾆτα κενὸν τὸν θύλακον οἴκαδ' ἀφεῖλκον.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

Αἰγύπτου δ' αὖ καὶ Φοινίκης πάσης κόκκυξ βασιλεὺς ἦν·
χὠπόθ' ὁ κόκκυξ εἴποι κόκκυ, τότ' ἂν οἱ Φοίνικες ἅπαντες 505
τοὺς πυροὺς ἂν καὶ τὰς κριθὰς ἐν τοῖς πεδίοις ἐθέριζον.

ΕΥΕΛΠΙΔΗΣ.

τοῦτ' ἄρ' ἐκεῖν' ἦν τοὔπος ἀληθῶς· κόκκυ, ψωλοί, πεδίονδε.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

ἦρχον δ' οὕτω σφόδρα τὴν ἀρχήν, ὥστ' εἴ τις καὶ βασιλεύοι
ἐν ταῖς πόλεσιν τῶν Ἑλλήνων Ἀγαμέμνων ἢ Μενέλαος,

503. Die Sitte kleines Geld im Munde zu tragen war sehr verbreitet. vgl. Wesp. 609: ἡ θυγάτηρ τῇ γλώττῃ τὸ τριώβολον ἐκκαλαμᾶται, und die Geschichte Wesp. 789ff. Ekkl. 818: πωλῶν γὰρ βότρυς μεστὴν ἀπῆρα τὴν γνάθον χαλκῶν ἔχων, wo auch der weitere Verlauf zu vergleichen ist. Fragm. 111: ὅπερ λοιπὸν μόνον ἦν ἐν τῇ γνάθῳ διώβολον. 144: ἐν τῷ στόματι τριημιωβόλιον ἔχων. Alexis 122, 7: εἶθ' ὁ μὲν ἔδωκεν ὡς τοιαῦτ' (σῦκα) ὠνούμενος τιμήν, ὁ δ' ἐγκάψας τὸ κέρμ' εἰς τὴν γνάθον ἐρίν' ἀπέδοτο. — κενὸν] weil er nach Verlust des Obolos das Mehl nicht mehr, wie er beabsichtigt hatte, kaufen konnte.

504. Ael. Thierk. 3, 30: ὁρᾶται ὁ κόκκυξ ἦρος ὑπαρχομένου εἰς ἀνατολὰς Σειρίου· εἶτα ἀνεχώρησεν. Hesiod. Tagew. 486: ἦμος κόκκυξ κοκκύζει δρυὸς ἐν πετάλοισι τὸ πρῶτον τέρπει τε βροτοὺς ἐπ' ἀπείρονα γαῖαν. 'Wer nach der Frühlingsgleiche noch schneitelte, sagt Plin. N. H. 18, 26, 66, dem riefen die Wanderer mit nachahmender Stimme ein höhnendes *Kukuk* zu: denn man hielt es für schimpflich, wenn dieser Vogel die Hippe im Weinberge traf.' Voss. vgl Hor. Sat. 1, 7, 30f. Eine ähnliche Sitte hat hier der Dichter vor Augen gehabt.

507. κόκκυ] zu Fr. 1380. Der Sinn des Rufes war: Da der Kukuk geschrieen, ist es Zeit ins Feld zu gehen. — ψωλοί] Herod. 2, 104: μοῦνοι πάντων ἀνθρώπων Κόλχοι καὶ Αἰγύπτιοι καὶ Αἰθίοπες περιτάμνονται ἀπ' ἀρχῆς τὰ αἰδοῖα. Φοίνικες δὲ καὶ Σύριοι οἱ ἐν τῇ Παλαιστίνῃ καὶ αὐτοὶ ὁμολογέουσι παρ' Αἰγυπτίων μεμαθηκέναι. — Aehnlich Suid. unter θύραζε: Θύραζε Κᾶρες, οὐκέτ' Ἀνθεστήρια. οἱ μὲν διὰ τὸ πλῆθος οἰκετῶν Καρικῶν εἰρῆσθαί φασιν, ὡς ἐν τοῖς Ἀνθεστηρίοις εὐωχουμένων αὐτῶν καὶ οὐκ ἐργαζομένων. τῆς οὖν ἑορτῆς τελεσθείσης λέγειν ἐπὶ τὰ ἔργα (*zur Feldarbeit,* zu 579) ἐκπέμποντας αὐτούς.

509. *Agamemnon* und *Menelaos* als Vertreter der hellenischen Könige überhaupt: sie waren, meint Peithetäros, Könige von Vogels Gnaden.

ἐπὶ τῶν σκήπτρων ἐκάθητ' ὄρνις μετέχων ὅ τι δωροδοκοίη. 510

ΕΥΕΛΠΙΔΗΣ.

τουτὶ τοίνυν οὐκ ᾔδη 'γώ· καὶ δῆτά μ' ἐλάμβανε θαῦμα,
ὁπότ' ἐξέλθοι Πρίαμός τις ἔχων ὄρνιν ἐν τοῖσι τραγῳδοῖς·
ὁ δ' ἄρ' εἱστήκει τὸν Λυσικράτη τηρῶν ὅ τι δωροδοκοίη.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

ὃ δὲ δεινότατόν γ' ἐστὶν ἁπάντων· ὁ Ζεὺς γὰρ ὁ νῦν βασιλεύων
ἀετὸν ὄρνιν ἕστηκεν ἔχων ἐπὶ τῆς κεφαλῆς βασιλεὺς ὤν, 515

510. Das *Skeptron* ist das Symbol der Richtergewalt, das den Königen nach dem Glauben der Heroenzeit (Hom. Il. 1, 238) von den Göttern überliefert ist (K. H.). Die Sitte, Vögel darauf abzubilden (vgl. Friederichs Bausteine S. 81. 82.), mag von den Babyloniern gekommen sein. Herod. 1, 195: *σφρηγῖδα ἕκαστος ἔχει καὶ σκῆπτρον χειροποίητον· ἐπ' ἑκάστῳ δὲ σκήπτρῳ ἔπεστι πεποιημένον ἢ μῆλον ἢ ῥόδον ἢ κρίνον ἢ αἰετὸς ἢ ἄλλο τι· ἄνευ γὰρ ἐπισήμου οὔ σφι νόμος ἐστὶ ἔχειν σκῆπτρον.*

511. *ᾔδη*] Heraclid. bei Eustath. zur Od. 1946, 23: *Ἀττικοὶ τοὺς τοιούτους ὑπερσυντελικοὺς ἐν τῷ η μόνῳ περατοῦσιν ᾔδη λέγοντες καὶ ἐνενοήκη καὶ ἐπεποιήκη, καὶ οὕτω φησὶ Παναίτιος ἔχειν τὰς γραφὰς παρὰ Πλάτωνι.* Danach behauptet Cobet, dass im *alten Atticismus* die Plusquamperfect- (beziehungsweise Imperfect-) Formen der 1. Person nie auf- *ειν*, sondern auf -*η*, der 2. nur auf -*ης* (ausser *ᾔδησθα, ἦσθα, ᾔεισθα*), der 3. nur auf -*ει* oder (vor Vocalen) -*ειν* ausgingen.

512. *ἐξέλθοι*] aus dem Bühnengebäude auf die Bühne. — *τραγῳδοῖς*] d. h. *ἐν ταῖς τραγῳδίαις*. Ganz gewöhnlich ist dieser Gebrauch in etwas anderer Bedeutung (ohne die Präposition). Demosth. 18, 54: *ἀναγορεῦσαι (ἀνειπεῖν) ἐν τῷ θεάτρῳ Διονυσίοις τοῖς μεγάλοις τραγῳδοῖς καινοῖς* (bei der Aufführung neuer Tragödien), *ὅτι στεφανοῖ ὁ δῆμος Δημοσθένην.* Aeschin. 3, 36: *ποιεῖσθαι τὴν ἀνάρρησιν τοῦ στεφάνου τραγῳδοῖς ἐν τῷ θεάτρῳ.*

513. *ἄρα*] zu Wo. 165. — *Lysikrates* ist nicht sehr bekannt: er soll nach einigen Feldherr, nach andern ein obscurus plagiarius poetarum tragicorum gewesen sein. Auch Ekkl. 630: *ἡ Λυσικράτους ἄρα νυνὶ ῥὶς ἴσα τοῖσι καλοῖσι φρονήσει* und 736: *τὸ φάρμακον, ᾧ Λυσικράτης μελαίνεται,* geben, selbst die Identität der Männer vorausgesetzt, wenig Aufschluss. Nach Euelpides wäre der Adler auf des Priamos Scepter dazu da, um auf die Bestechlichkeit des Lysikrates zu achten.

514. *ὃ δὲ*] mit folgendem *γάρ*, Kr. 51, 13, A. 13. Sehr ähnlich Wesp. 605: *ὃ δέ γ' ἥδιστον τούτων ἐστὶν πάντων, ὅταν οἴκαδ' ἴω τὸν μισθὸν ἔχων.*

515. Wer hat je gehört oder gesehen, dass der Adler dem Zeus *auf dem Kopfe* sitze? *Auf dem Scepter*, heisst es 510. So bei dem Bilde des Zeus in Olympia: Paus. 5, 11, 1: *ὁ δὲ ὄρνις ὁ ἐπὶ τῷ σκήπτρῳ καθήμενός ἐστιν ὁ ἀετός.* Pind. Pyth. 1, 10: *εὕδει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός,* wozu Böckh: 'aquila Iovis sceptro

ἡ δ' αὖ θυγάτηρ γλαῦχ', ὁ δ' Ἀπόλλων ὥσπερ θεράπων ἱέρακα.

ΧΟΡΟΣ.

νὴ τὴν Δήμητρ', εὖ ταῦτα λέγεις. τίνος εἵνεκα ταῦτ' ἄρ' ἔχουσιν;

ΠΕΙΘΕΤΑΙΡΟΣ.

ἵν', ὅταν θύων τις ἔπειτ' αὐτοῖς ἐς τὴν χεῖρ', ὡς νόμος ἐστίν,
τὰ σπλάγχνα διδῷ, τοῦ Διὸς αὐτοὶ πρότεροι τὰ σπλάγχνα λάβωσιν.
ὤμνυ τ' οὐδεὶς τότ' ἂν ἀνθρώπων θεόν, ἀλλ' ὄρνιθας ἅπαντες· 520
Λάμπων δ' ὄμνυσ' ἔτι καὶ νυνὶ τὸν χῆν', ὅταν ἐξαπατᾷ τι.

insidens ficta esse antiquitus videtur; atque ita repraesentavit Phidias in Olympii Iovis sceptro, fortasse Pindarum maxime secutus. adde versum Sophocl. ex schol. Aristoph. Av.: *ὁ σκηπτοβάμων αἰετός, κύων Διός.* Statt *κεφαλῆς* wird ein komisch parodirendes Synonymon für *σκῆπτρον* herzustellen sein: etwa *σκυτάλης* (K. Kock).

516. *θυγάτηρ*] zu Ri. 1093. — *θεράπων*] Aesch. Eum. 19: *Διὸς προφήτης δ' ἐστὶ Λοξίας πατρός.*

519. *αὐτοὶ*] Bergk *αὐτοῦ*. vgl. 569.

521. *Λάμπων*] der Wahrsager, 988. zu Wo. 332. Thuk. 5, 19, 2 nennt ihn an der Spitze derer, welche den Frieden des Nikias und bald darauf das Bündnis mit den Lakedämoniern von Seiten der Athener unterzeichnet haben. Plut. Per. 6 erzählt, *Λάμπωνα τὸν μάντιν εἰπεῖν, ὅτι δυοῖν οὐσῶν ἐν τῇ πόλει δυναστειῶν, τῆς Θουκυδίδου* (S. des Melesias) *καὶ Περικλέους, εἰς ἕνα περιστήσεται τὸ κράτος.* Er stand bei Perikles in grossem Ansehen, obwohl er von ihm zuweilen auch geneckt wurde (Aristot. Rhet. 3, 18). Kratinos (49. 50) verspottet ihn als sehr gefrässig: *Λάμπωνα, τὸν οὐ βροτῶν ψῆφος δύναται φλεγυρὰ δείπνου φίλων ἀπείργειν. νῦν δ' αὖθις ἐρυγγάνει· βρύκει γὰρ ἅπαν τὸ παρόν· τρίγλῃ* (qui est piscis omnium contemptissimus, Meineke) *δὲ κἂν μάχοιτο.* — *τὸν χῆνα*] Schol. Plat. Apol. 22 A: *Ῥαδαμάνθυος ὅρκος οὗτος ὁ κατὰ κυνὸς ἢ χηνὸς ἢ πλατάνου ἢ κριοῦ ἤ τινος ἄλλου τοιούτου.* In den alten Zeiten einfacher Frömmigkeit und Gottesfurcht bediente man sich solcher Eide, um die Namen der Götter nicht zu entweihen. Kratin. 238: *οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ κύων, ἔπειτα χήν, θεοὺς δ' ἐσίγων,* In der damaligen Zeit konnte ein solches Zurückgehen auf die alte, aus naivem Glauben entsprungene Sitte leicht geziert und lächerlich erscheinen (Bergk und Lobeck). Dieselbe Art des Schwurs hatte auch Sokrates. Philostr. L. Apoll. 9: *Σωκράτης τὸν κύνα καὶ τὸν χῆνα καὶ τὴν πλάτανον ὤμνυ, οὐχ ὡς θεούς, ἀλλ' ἵνα μὴ θεοὺς ὀμνύῃ.* 'Es kann fast scheinen, als ob man ausweichend *τὸν χῆνα* statt *τὸν Ζῆνα* gesagt habe, wie auch bei uns dergleichen Verdrehungen nicht ungewöhnlich sind.' Becker. Z. B. Potz tausend für: Gottes tausend Blitze, Deixel für

οὕτως ὑμᾶς πάντες πρότερον μεγάλους ἁγίους τ' ἐνόμιζον,
νῦν δ' αὖ μανᾶς·
ὥσπερ δ' ἤδη τοὺς μαινομένους
βάλλουσ' ὑμᾶς, κἀν τοῖς ἱεροῖς 525
πᾶς τις ἐφ' ὑμῖν ὀρνιθευτὴς
ἵστησι βρόχους, παγίδας, ῥάβδους,
ἕρκη, νεφέλας, δίκτυα, πηκτάς·
εἶτα λαβόντες πωλοῦσ' ἀθρόους·
οἱ δ' ὠνοῦνται βλιμάζοντες· 530

Teufel u. a. — *ἐξαπατᾷ τι*] Demosth. 23, 117: *ἐξαπατώντων τι τῶν Λακεδαιμονίων* (Dobree). 20, 5: *ἐξαπατηθέντας τι.*

523. *μανᾶς*] *Μᾱνῆς*, ein gewöhnlicher Sklavenname (vgl. 1311. 1329. auch 656, *Μανία* zu Fr. 1345), ist hier ganz zum nomen appellativum geworden, = *δοῦλος.*

524. *ἤδη*] So weit gehen sie *nun gar schon* in der Nichtachtung gegen euch, dass usw. — *τοὺς μαινομένους*] wohl mit Anspielung auf *μανᾶς.*

525. *ἐν τοῖς ἱεροῖς*] passt nicht recht, auch wenn man mit Bergk ändert: *βάλλουσ' ὑμᾶς κἀν τοῖς ἱεροῖς, πᾶς τις ἐφ' ὑμῖν δ'*, und an Eur. Ion 106 ff. 154 ff. und an die Herod. 1, 159 erzählte Geschichte von Aristodikos im Branchidentempel denkt. Was Aristodikos thut, ist gerade die Ausnahme von der Regel; und wenn der Tempeldiener die Vögel, die das Heiligtum verunreinigten, verjagen durfte, so wird man doch, auch damals, den Vogelstellern nicht erlaubt haben, ihre Netze in den Tempeln aufzustellen. *ἐν τοῖσιν ἀγροῖς* (Hirschig und Halbertsma) ist viel zu allgemein. Etwa: *κἀν τοῖς δρυμοῖς*? oder *κἀν τοῖς σκιεροῖς*?

526. *ἐφ' ὑμῖν*] Kr. 68, 41, A. 7. vgl. 543. Herod. 1, 61: *μαθὼν δὲ ὁ Πεισίστρατος τὰ ποιεύμενα ἐπ' ἑωυτῷ ἀπαλλάσσετο.* Ganz ebenso 4, 80: *τὸ γινόμενον ἐπ' ἑωυτῷ.* Demosth. 23, 137: *τίνος εἵνεκα ἃ βούλεται διαπράξασθαι συλλάβωμεν αὐτῷ, καὶ ταῦτα ἐφ' ἡμῖν ὄντα;*

527. *βρόχους*] Poll. 5, 28: *ἔστι δὲ ὁ βρόχος τὸ συνεχὲς ἐν τοῖς δικτύοις τετράγωνον διάστημα, συνεστηκὸς ἐκ τεττάρων ἁμμάτων, ὃ τεινομένης τῆς ἄρκυος γίνεται ῥομβοειδές, δι' οὗ τὴν κεφαλὴν διωθεῖ τὰ θηρία ὡς διεκπεσούμενα, καὶ περὶ αὐτὸ ἐνσχεθέντα ἁλίσκεται.* Doch auch die einzelne *Schlinge.* — *παγίδας*] zu 194. — *ῥάβδους*] mit Vogelleim bestrichene *Ruthen.* Ovid. Metam. 15, 474: *retia cum pedicis, laqueos artesque dolosas tollite: nec volucrem viscata fallite virga.*

528. *ἕρκη*] Hom. Od. 22, 469: *ὡς ὅτ' ἂν ἢ κίχλαι τανυσίπτεροι ἠὲ πέλειαι ἕρκει ἐνιπλήξωσι, τό θ' ἑστήκῃ ἐνὶ θάμνῳ*, wozu Eustath: *φαίνεται σχοῖνος εἶναι μακρὰ τὸ ἕρκος, ἧς βρόχοι ἀπῃώρηνται πρὸς ἰσότητα σύμμετρον.* Phot. 17: *ἕρκη πλεκτά τινα ἐκ τριχῶν οἱ κωμικοὶ οἱ παλαιοὶ καλοῦσιν*, wohl ähnlich unseren *Sprenkeln.* — *νεφέλας*] zu 194. — *πηκτάς*] an der Erde befestigte Schlingen?

529. *λαβόντες*] *οἱ ὀρνιθευταί*, da *πᾶς τις* collectiven Sinn hat. Kr. 58, 4, A. 5.

530. *οἱ δὲ*] die Käufer, im Gegensatz zu den Verkäufern. zu 492. — *βλιμάζοντες*] Hesych.: *βλιμάζειν· τὸ τοὺς ὄρνιθας ἐκ τῶν*

κοὐδ' οὖν, εἴπερ ταῦτα δοκεῖ δρᾶν,
ὀπτησάμενοι παρέθενθ' ὑμᾶς,
ἀλλ' ἐπικνῶσιν τυρόν, ἔλαιον,
σίλφιον, ὄξος, καὶ τρίψαντες
καταχυσμάτιον γλυκὺ καὶ λιπαρὸν 535
κἄπειτα κατεσκέδασαν θερμὸν

στηθῶν πειράζειν. Zonar. 1, 394: *τὸ τοῦ ὑπογαστρικοῦ καὶ τοῦ στήθους ἅπτεσθαι, ὅπερ ποιοῦσιν οἱ τὰς ὄρνιθας ὠνούμενοι.* In übertragener Bedeutung Lys. 1164: *τὰν Πύλον, ἅσπερ πάλαι δεόμεσθα καὶ βλιμάττομες.* Kratin. 295: *ὡς δὲ μαλακὸν καὶ τέρεν τὸ χρωτίδιον ἦν, ὦ θεοί· καὶ γὰρ ἐβλίμαζον αὐτήν, ἡ δ' ἐφρόντιζ' οὐδὲ ἕν.*

532. *ὀπτησάμενοι*] Die homerische Zeit 'kannte nur das *Braten* am Spiesse; erst allmählich stellte sich daneben das Kochen oder *Backen in Oel*, welches letztere *durchgehends die Stelle unserer Butter* vertrat.' Varro de ling. lat. 5, 109 unterscheidet drei Stufen: *hanc* (carnem) *primo assam*, *secundo elixam*, *tertio e iure uti coepisse natura docet* (K. H.). So meint Peithetäros: Wenn sie euch nun einmal zur Nahrung brauchen, so würde es doch genügen, euch einfach zu braten: aber statt dessen bereiten sie euch zu, indem sie allerlei pikante Ingredienzen zusetzen und dann noch eine weichliche Sauce (tertio *e iure* Varro) übergiessen. So redet Menandr. 450 von *ὑποβινητιῶντα βρώματα.* — *παρέθεντο*] Kr. 53, 10, A. 2.

533. *ἐπικνῶσιν*] *ἐπικνῆσαι* est *terere et tritum adicere.* Beck. Käse, Oel und Silphion wird bei der Zubereitung übergestreut und Essig angegossen. So wird schon bei Homer (Il. 18, 560. Od. 14, 77. 429) Mehl über das Fleisch gestreut. Davon verschieden die Sauce. — *τυρόν*] Hom. Il. 11, 639: *ἐπὶ δ' αἴγειον κνῆ τυρὸν κνήστι χαλκείῃ* (zur Bereitung des *κυκεών*). Wie hier Fleisch mit Käse angemacht wird, so erwähnt Philem. 75 *ἰχθὺν πεφαρμακευμένον τυροῖσιν.* Uebrigens vgl. 1579—1590. 1637.

534. *σίλφιον*] *laserpitium.* zu Ri. 894. — *τρίψαντες*] *τρίβειν* brauchen die Alten vielfach für die Mischung zerriebener Stoffe mit Flüssigkeiten. Fried. 1169: *τοῦ θύμου τρίβων κυκῶμαι.* Demosth. 18, 258: *τὸ μέλαν τρίβων.*

535. *καταχυσμάτιον*] Die La. der Hdss. *κατάχυσμ' ἕτερον* kann nicht richtig sein, da ja überhaupt nur von *einer* Sauce die Rede ist. (Käse, Oel, Silphion und Essig gehören dazu *nicht.*) Das Deminutiv hat auch Pherekr. 106, 11 gebraucht: *καταχυσματίοισι παντοδαποῖσιν εὐπρεπῆ* (*τεμάχη*). Poll. 6, 56. 68: *εἴη δ' ἂν τῶν ἡδυσμάτων καὶ τὰ ὑποτριμμάτια, ἃ καὶ καταχυσμάτια.* 65. 66 erwähnt er auch *ἔλαιον*, *ὄξος*, *σίλφιον* als *ἡδύσματα*, aber *verschieden* von den *καταχυσμάτια.* — *γλυκὺ*] Schol.: *μέλιτι δεδευμένον.* Athen. 13, 564 A: *Ἡγήσανδρος ἐν τοῖς ὑπομνήμασι τῶν ἡδυσμάτων φησὶν ἐρᾶν πάντας* (natürlich in einer verweichlichten Zeit), *οὐ τῶν κρεῶν οὐδὲ τῶν ἰχθύων· ἀπογενομένων γοῦν τούτων* (*τῶν ἡδυσμάτων*) *οὐδεὶς ἔτι ἡδέως προσφέρεται τὸ κρέας οὐδὲ τὸν ἰχθύν.* — *λιπαρὸν*] Athen. 9, 385 A erwähnt *τὸν μετ' ὀξυλιπάρου ἀλεκτρυόνα.*

536. *κἄπειτα*] Kr. 56, 10, A. 3 u. 69, 24, A. 2. vgl. 674. zu Wo. 409.

τοῦτο καθ᾽ ὑμῶν,
αὔων ὥσπερ κενεβρείων.

ΧΟΡΟΣ.

πολὺ δή, πολὺ δὴ χαλεπωτάτους λόγους — *ἀντιστρ.*
ἤνεγκας, ἄνθρωφ᾽· ὡς ἐδάκρυσά γ᾽ ἐμῶν 540
πατέρων κάκην, οἳ
τάσδε τὰς τιμὰς προγόνων παραδόντων
ἐπ᾽ ἐμοὶ κατέλυσαν.
σὺ δέ μοι κατὰ δαίμονα καί τινα συντυχίαν
ἀγαθὴν ἥκεις ἐμοὶ σωτήρ. 545
ἀναθεὶς γὰρ ἐγώ σοι
τά τε νοττία κἀμαυτὸν οἰκιῶ σε.
ἀλλ᾽ ὅ τι χρὴ δρᾶν, σὺ δίδασκε παρών· ὡς ζῆν οὐκ ἄξιον ἡμῖν,
εἰ μὴ κομιούμεθα παντὶ τρόπῳ τὴν ἡμετέραν βασιλείαν.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

καὶ δὴ τοίνυν πρῶτα διδάσκω μίαν ὀρνίθων πόλιν εἶναι, 550

538. *αὔων*] *wie über vertrocknete Aeser.* *αὖος welk* (Ri. 534) wird vorzüglich von Leichen gebraucht. Alexis 154: *σῶμα μὲν ἐμοῦ τὸ θνητὸν αὖον ἐγένετο, τὸ δ᾽ ἀθάνατον ἐξῆρε πρὸς τὸν ἀέρα.* Luk. Tim. 8: *οἱ δὲ τὰ ὀστᾶ γυμνώσαντες καὶ περιτραγόντες, εἰ δέ τις καὶ μυελὸς ἐνῆν ἐκμυζήσαντες ᾤχοντο αὖον αὐτὸν* (lebend, aber wie todt) *καὶ τὰς ῥίζας ὑποτετμημένον καταλιπόντες.* Katapl. 12 sagt ein todter: *οὐκ εἶχον ὅτι δράσαιμι αὖος ἤδη καὶ ψυχρὸς ὤν.* Trauer 8: *Τάνταλος ἐπ᾽ αὐτῇ τῇ λίμνῃ αὖος* (die Hdss. *αὐτός*, so auch Eupol. 126 *αὐταῖσι* für *αὔαισι*) *ἕστηκε κινδυνεύων ὑπὸ τοῦ δίψους ἀποθανεῖν.* — *κενεβρείων*] *Schindäser* Reiske. Erotian. 204: *κενέβρεια· τὰ νεκριμαῖα κρέα οὕτω καλοῦνται· ὡς καὶ Ἀριστοφάνης· οὐκ ἔσθω κενέβρειον· οταν θύσῃς τι, κάλει με* (nach Cobet).

539. Eur. Alk. 442: *πολὺ δή, πολὺ δὴ γυναῖκ᾽ ἀρίσταν πορεύσας.* zu 451.

540. *ὡς*] *ὥστ᾽*?

541. *κάκην*] *δειλίαν.* Auch in der platonischen Prosa nicht selten (Ruhnk. zu Tim. 152).

543. *ἐπ᾽ ἐμοὶ*] zu 526.

544. *κατὰ δαίμονα*] zu Ri. 147. Herod. 3, 74: *ἐγίνετο κατὰ συντυχίην τόδε.*

546. *ἀναθεὶς*] *tuae curae committens.* Beck. zu Wo. 1453.

547. *νοττία*] für *νεόττια.* Die Grammatiker pflegen die kürzere Form als unattisch zu bezeichnen; aber Bekk. Anekd. 109, 22: *νοσσόν, χωρὶς τοῦ ε Αἰσχύλος Κήρυξιν* (103). Dindf. Eustath.: *τὸ νοσσός συγκόπτει τὸ οἰκεῖον ε.* — *οἰκιῶ σε*] *will dich* hier in meinem Lande *wohnen lassen.* So *οἰκίζω* mit persönlichem Obiect sehr oft; z. B. Soph. OKol. 785. Darauf kommt es aber hier besonders an, dass der Chor seine Genehmigung *zu der Ansiedelung der Einwanderer* ausdrücklich erkläre.

549. *κομιούμεθα*] wieder *an uns bringen.*

550. Meine Lehre (mein Rath)

κἄπειτα τὸν ἀέρα πάντα κύκλῳ καὶ πᾶν τουτὶ τὸ μεταξὺ
περιτειχίζειν μεγάλαις πλίνθοις ὀπταῖς, ὥσπερ Βαβυλῶνα.

ΕΥΕΛΠΙΔΗΣ.

ἆ Κεβριόνα καὶ Πορφυρίων, ὡς σμερδαλέον τὸ πόλισμα.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

κἄπειτ' ἢν τοῦτ' ἐπανεστήκῃ, τὴν ἀρχὴν τὸν Δί' ἀπαιτεῖν·
κἂν μὲν μὴ φῇ μηδ' ἐθελήσῃ μηδ' εὐθὺς γνωσιμαχήσῃ, 555
ἱερὸν πόλεμον πρωυδᾶν αὐτῷ, καὶ τοῖσι θεοῖσιν ἀπειπεῖν

ist: dass *eine* Stadt sei. Peithetäros verbindet als richtiger Athener den Plan des Theseus, welcher sämmtliche Bewohner von Attika politisch in *eine Hauptstadt* sammelte, mit dem des Themistokles, der, um Athen die Hegemonie zu sichern, die Befestigung (552) durchsetzte.

551. τὸ μεταξὺ] näml. οὐρανοῦ καὶ γῆς.

552. Der Umfang von *Babylon* betrug nach Herod. 1, 178 *zwölf*, nach Diod. 2, 7 *neun* geographische Meilen. In diesem Umfang 'hat London mit allen seinen Vorstädten zweimal Raum.' Abicht. Herod. 1, 179: δεῖ δή με φράσαι καὶ τὸ τεῖχος ὅντινα τρόπον ἔργαστο. ἑλκύσαντες πλίνθους ἱκανὰς ὤπτησαν αὐτὰς ἐν καμίνοισι. 178: τεῖχος πεντήκοντα μὲν πήχεων βασιληίων ἐὸν τὸ εὖρος, ὕψος δὲ διηκοσίων πήχεων· ὁ δὲ βασιλήιος πῆχυς τοῦ μετρίου (d. h. τοῦ κοινοῦ) ἐστὶ πήχεος μέζων τρισὶ δακτύλοισι. Die griechische Elle nach Hultsch = 1,47 Fuss.

553. Κεβριόνα] über die Verlängerung der ersten Sylbe zu Wo. 320. ᾱ statt η Dorismus. — Dem Euelpides erscheint der Plan so riesenhaft, dass er gleich an zwei der gewaltigsten *Riesen* denkt, *Kebriones* und *Porphyrion*. Den ersteren vermag ich freilich als solchen nicht nachzuweisen: bei Homer (Il. 8, 318) ist Kebriones Hektors Bruder und Wagenlenker, von Patroklos erlegt (16, 738 ff.), und dieser kann nicht gemeint sein. Porphyrion dagegen wird von Pind. Pyth. 8, 12 (15) und 17 (22) βασιλεὺς Γιγάντων genannt und auch von Horaz erwähnt. Carm. 3, 4, 54: *minaci Porphyrion statu.* Sein Name fällt dem Euelpides hier um so passender ein, als πορφυρίων auch ein Vogel ist (zu 707. 1249 ff.). Vielleicht war mit dem Gigantenkönige Porphyrion ein *Riese* aus der attischen Sage verbunden, der von Theseus bei Eleusis erlegte (zu 558) *Kerkyon* (ὦ Κερχνόνα). Der Vogel κερχίων ist freilich erst seit Alexander d. Gr. bekannt. — σμερδαλέον] homerisches Wort. ἐκπληκτικόν Hesych. — πόλισμα] 'proprie est *munimentum*. Av. 553. 1565. Thuc. 4, 54.' G. Hermann.

555. γνωσιμαχήσῃ] '*seinen Entschluss ändert.*' Kr. zu Herod. 3, 25, 2; in der komischen Sprache sonst nicht; bei den Tragikern nur einmal, Eur. Herakl. 706; auch in der attischen Prosa selten, öfter erst bei späteren. Bekk. Anekd. 233, 20: γνωσιμαχῆσαι τὸ νοεῖν τὴν ἑαυτοῦ ἀσθένειαν τήν τε τῶν ἐναντίων ἰσχύν. οἱ δὲ τὸ γνόντα, ὅτι πρὸς κρείσσονας ἔσοιτο αὐτῷ ἡ μάχη, ἡσυχάσαι. Isokr. 5, 7: διαλύεσθαι τὸν πόλεμον καὶ γνωσιμαχήσαντα βουλεύεσθαί τι κοινὸν ἀγαθόν.

556. ἱερὸν πόλεμον] *einen Kreuzzug*. καθὸ πρὸς θεοὺς ἔσοιτο. Schol. *Heilige* Kriege hiessen bei den Griechen die um Delphoi geführten. An die früheren, auch an

διὰ τῆς χώρας τῆς ὑμετέρας ἐστυκόσι μὴ διαφοιτᾶν,
ὥσπερ πρότερον μοιχεύσοντες τὰς Ἀλκμήνας κατέβαινον
καὶ τὰς Ἀλόπας καὶ τὰς Σεμέλας· ἤνπερ δ' ἐπίωσ', ἐπιβάλλειν
σφραγῖδ' αὐτοῖς ἐπὶ τὴν ψωλήν, ἵνα μὴ βινῶσ' ἔτ' ἐκείνας. 560
τοῖς δ' ἀνθρώποις ὄρνιν ἕτερον πέμψαι κήρυκα κελεύω,
ὡς ὀρνίθων βασιλευόντων θύειν ὄρνισι τὸ λοιπόν,
κἄπειτα θεοῖς ὕστερον αὖθις· προσνείμασθαι δὲ πρεπόντως
τοῖσι θεοῖσιν τῶν ὀρνίθων ὃς ἂν ἁρμόττῃ καθ' ἕκαστον·
ἢν Ἀφροδίτῃ θύῃ, γύρους ὄρνιθι φαληρίδι θύειν· 565

den zu Solons Zeiten, wird damals niemand gedacht haben, sondern an den vom J. 448. Thuk. 1, 112: *Λακεδαιμόνιοι τὸν ἱερὸν καλούμενον πόλεμον ἐστράτευσαν καὶ κρατήσαντες τοῦ ἐν Δελφοῖς ἱεροῦ παρέδοσαν Δελφοῖς· καὶ αὖθις ὕστερον Ἀθηναῖοι ἀποχωρησάντων αὐτῶν στρατεύσαντες καὶ κρατήσαντες παρέδοσαν Φωκεῦσιν.* — *πρωυδᾶν*] d. h. *προαυδᾶν*, *indicere.*

557. *ἐστυκόσι*] 1256.

558. *Alkmene* und *Semele* sind bekannter; *Alope*, die Tochter des eleusinischen Unholdes Kerkyon, gebar von Poseidon den *Hippothoon*, den Eponymos der attischen *Phyle Hippothoontis*, und setzte ihn aus, worauf er von einer Stute gesäugt und von Hirten erzogen wird; Alope aber wird von ihrem Vater misshandelt, bis Theseus den Kerkyon erschlägt und dem Hippothoon zu seinem Reiche verhilft (Preller).

560. *σφραγῖδα*] Wir würden sagen: *plombiren.* vgl. 1213 ff.

562. *θύειν*] *πρὸ τῶν θεῶν* Schol. Beck vermutet *τὸ πρῶτον* für *τὸ λοιπόν.*

564. *τῶν ὀρνίθων*] *τούτων, ὃς ἂν κτλ.* — *ἁρμόττῃ*] '*ἁρμόττω* tam saepe apud Atticos occurrit, ut paucis contrariis exemplis (tragicos omitto) mascula crisi medendum sit, ut Arist. Av. 564.' Lobeck. Die Hdss. haben nämlich *ἁρμόζῃ*. Dass Dindf. sich gegen Lobecks Urteil auf die Tragiker beruft, ist zu verwundern, da diese ja auch *τάσσω*, *θάλασσα* usw. haben, wofür die Komiker stets *τάττω, θάλαττα.*

565. *γύρους*] Athen. 14, 645 F: *γοῦρος* (nach Eustath. vielmehr mit *υ* statt *ου* zu schreiben) *ὅτι πλακοῦντος εἶδος, ὁ Σόλων ἐν τοῖς ἰάμβοις φησί· τρώγουσιν οἱ μὲν ἴτρια, οἱ δ' ἄρτον αὐτῶν, οἱ δὲ συμμεμιγμένους γ(ο)ύρους φακοῖσι.* — *φαληρίδι*] 'constat *fulicam* Linnaei intellegi.' Schneider. Ach. 875 bringt der Böoter unter anderm auch *φαλᾱρίδας* (*ᾱ* für *η*) zum Verkauf. Athen. 9, 395 E rechnet sie zu den Enten: *ἡ δὲ φαλαρὶς καὶ αὐτὴ στενὸν ἔχουσα τὸ ῥύγχος, στρογγυλωτέρα τὴν ὄψιν οὖσα, ἔντεφρος τὴν γαστέρα, μικρῷ μελαντέρα τὸ νῶτον.* 7, 325 AB: *κατὰ τὸ παραπλήσιον δ' οἰκειοῦσιν Ἀπόλλωνι μὲν κίθαρον, Διονύσῳ δὲ κιττὸν καὶ Ἀφροδίτῃ φαλαρίδα, ὡς Ἀριστοφάνης ἐν Ὄρνισι, κατὰ συνέμφασιν τοῦ φαλλοῦ, καὶ τὴν νῆτταν δὲ καλουμένην Ποσειδῶνί τινες οἰκειοῦσι.* Peithetäros folgt in seiner Zutheilung der Vögel an die Götter nicht dem Volksglauben, sondern dem vermeintlich rationelleren Prin-

ἢν δὲ Ποσειδῶνί τις οἶν θύῃ, νήττῃ πυροὺς καθαγίζειν·
ἢν δ' Ἡρακλέει θύῃσι, λάρῳ ναστοὺς θύειν μελιτοῦντας·
κἂν Διὶ θύῃ βασιλεῖ κριόν, βασιλεύς ἐστ' ὀρχίλος ὄρνις,
ᾧ προτέρῳ δεῖ τοῦ Διὸς αὐτοῦ σέρφον ἐνόρχην σφαγιάζειν.

ΕΥΕΛΠΙΔΗΣ.

ἥσθην σέρφῳ σφαγιαζομένῳ. βροντάτω νῦν ὁ μέγας Ζάν. 570

ΧΟΡΟΣ.

καὶ πῶς ἡμᾶς νομιοῦσι θεοὺς ἄνθρωποι κοὐχὶ κολοιούς,
οἳ πετόμεσθα πτέρυγάς τ' ἔχομεν;

cip der näheren Verwandtschaft, die freilich theilweis blos auf dem Wege spielender Etymologie zu Stande gebracht wird.

566. *νήττῃ*] zu 304.

567. *θύῃσι*] wie Kom. Plat. 145, 5: *κἂν μὲν πίπτῃσι τὰ λεύκ' ἐπάνω.* zu Ri. 1296. — *λάρῳ*] es ist die *gavia* des Plinius, bei Aristoph. oft ein Sinnbild der Habgier (zu Ri. 956. zu Wo. 591) und der Gefrässigkeit (stets ᾰ). Deswegen wird der Vogel auch dem Herakles zugetheilt, weil beide *grosse Fresser* sind. Athen. 10, 411 C: *τοιοῦτον οὖν (τὸν Ἡρακλέα) ὑποστησάμενοι ταῖς ἀδηφαγίαις καὶ τῶν ὀρνέων ἀποδεδώκασιν αὐτῷ τὸν λάρον τὸν προσαγορευόμενον βουφάγον.* Matron bei Athen. 4, 134 E: *σχεδόθεν δέ οἱ ἦν παράσιτος Χαιρεφόων, πεινῶντι λάρῳ ὄρνιθι ἐοικώς.* — *ναστοὺς*) Athen. 3, 111 C: *ναστὸς ἄρτος ζυμίτης καλεῖται μέγας. Νικόστρατος δέ* (15)· *ναστὸς δὲ μέγεθος τηλικοῦτος, δέσποτα, λευκός· τὸ δὲ πάχος ὑπερέκυπτε τοῦ κανοῦ. ὀσμὴ δέ, τοὐπίβλημ' ἐπεὶ περιῃρέθη, ἄνω 'βάδιζε καὶ μέλιτι μεμιγμένη ἀτμίς τις εἰς τὰς ῥῖνας· ἔτι γὰρ θερμὸς ἦν.* 14, 646 E: *ναστὸς πλακοῦντος εἶδος ἔχων ἔνδον καρυκείας.*

568. *ὀρχίλος*] hier dem Zeus zugetheilt, weil sein Name auf *ὄρχεις* hindeutet (569) und Zeus gar sehr *ἥττων ἔρωτός ἐστι καὶ γυναικῶν* (Wo. 1081). Diese Gesellung gibt auch einen sehr scherzhaften Contrast, da der *ὀρχίλος* ein *sehr kleiner* Vogel ist. Hesych.: *ὀρχίλος, ὀρνιθάριον τῶν εὐωνήτων· λέγεται δὲ ὑπό τινων σαλπιγκτής.* Wesp. 1513: *ὅσον τὸ πλῆθος κατέπεσεν τῶν ὀρχίλων.* Bei Hochzeiten galt sein Erscheinen für ein unglückliches Vorzeichen (Euphorion bei Tzetz. zu Lykophr. S. 83).

569. *σέρφον*] zu 82. — *ἐνόρχην*] sehr komisch: die Vögel stellen an die ihnen darzubringenden Opfer dieselben Anforderungen wie die Götter. Poll. 1, 29: *τὰ δὲ προσακτέα θύματα ἱερεῖα ἄρτια, ἄτομα, ὁλόκληρα, ὑγιῆ, ἄπηρα, μὴ κολοβὰ μηδὲ ἔμπηρα μηδὲ ἠκρωτηριασμένα μηδὲ διάστροφα.* Plut. Mor. 437 AB: *δεῖ τὸ θύσιμον τῷ τε σώματι καὶ τῇ ψυχῇ καθαρὸν εἶναι καὶ ἀσινὲς καὶ ἀδιάφθαρτον* (K. H.). Hesych.: *τρίκτειρα ἢ τριττύα. θυσία Ἐνυαλίῳ. θύεται δὲ πάντα τρία καὶ ἔνορχα.* Ebenso spasshaft Kom. Plat. 169, 8: *πρῶτα μὲν ἐμοὶ γὰρ κουροτρόφῳ προθύεται πλακοῦς ἐνόρχης, ἄμυλος ἐγκύμων.*

570. *ἥσθην*] 880. 1743. Kr. 53, 6, A. 3. zu Wo. 174. Ri. 696. Euelpides freut sich über die *geschlachtete* Mücke. — *Ζάν*] die seltene, dorische Form steigert das komische Pathos.

571. *κολοιούς*] verächtlich; species pro genere.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

ληρεῖς· καὶ νὴ Δί᾽ ὅ γ᾽ Ἑρμῆς
πέτεται θεὸς ὢν πτέρυγάς τε φορεῖ, κἄλλοι γε θεοὶ
πάνυ πολλοί.
αὐτίκα Νίκη πέτεται πτερύγοιν χρυσαῖν καὶ νὴ Δί᾽
Ἔρως γε·
Ἶριν δέ γ᾽ Ὅμηρος ἔφασκ᾽ ἰκέλην βῆναι τρήρωνι πελείῃ. 575
ὁ Ζεὺς δ᾽ ἡμῖν οὐ βροντήσας πέμπει πτερόεντα κεραυνόν;

ΧΟΡΟΣ.

ἢν δ᾽ οὖν ἡμᾶς μὲν ὑπ᾽ ἀγνοίας εἶναι νομίσωσι τὸ μηδέν,
τούτους δὲ θεοὺς τοὺς ἐν Ὀλύμπῳ;

ΠΕΙΘΕΤΑΙΡΟΣ.

τότε χρὴ στρούθων νέφος ἀρθὲν
καὶ σπερμολόγων ἐκ τῶν ἔργων τὸ σπέρμ᾽ αὐτῶν ἀνακάψαι·

574. *αὐτίκα*] zu 166. — *Νίκη*] Zwar stand zur rechten der Propyläen ein Tempel der *Νίκη ἄπτερος* (Paus. 1, 22, 4); doch wird sie sonst gewöhnlich *geflügelt* gebildet. Auch ist der Tempel richtiger der der *Athene* Nike zu nennen (vgl. Burs. Geogr. I 307). Demosth. 24, 121: *οἱ τὰ ἀκρωτήρια τῆς Νίκης περικόψαντες ἀπώλοντο αὐτοὶ ὑφ᾽ αὑτῶν*, wozu die Schol.: *λέγει τὰ πτερά· οὕτω γὰρ γράφεται ἡ Νίκη. ταύτης δὲ τὰς πτέρυγας χρυσᾶς οὔσας ἐπεχείρησάν τινες κακοῦργοι ἀφελέσθαι.* — *Ἔρως*] 697.

575. In der Ilias und Odyssee kommt dieser Ausdruck von der *Iris* nicht vor; vielmehr von Athene und Hera Il. 5, 778: *αἱ δὲ βάτην, τρήρωσι πελειάσιν ἴθμαθ᾽ ὁμοῖαι.* Aber sehr verständig Schol.: *οἱ δὲ ἐν ἑτέροις ποιήμασιν Ὁμήρου φασὶ τοῦτο φέρεσθαι. εἰσὶ γὰρ αὐτοῦ καὶ ὕμνοι.* Denn Hymn. 1, 114 von Iris und Eileithyia: *βὰν δὲ ποσὶν τρήρωσι πελειάσιν ἴθμαθ᾽ ὁμοῖαι.*

576. *πτερόεντα*] 'ut alas volucribus nullo modo officere iam novo exemplo declararet, fulmen cumuli loco addidit, quod et ipsum esse *πτερόεντα κεραυνόν*: nam adiectivum summam vim habet. quamobrem pro *πέμψει* scribendum est *πέμπει* versusque deleta Epopis persona in Pithetaerum conferendus.' Fritzsche. vgl. 1714. Der '*geflügelte Blitz*' im wörtlichsten Sinne ist auch von der griechischen Kunst nicht selten dargestellt. Conze, Heroen- und Göttergestalten I 5. 6.

577. *ἢν δὲ*] vgl. 371. — *νομίσωσι*] die Menschen: als ob nur durch deren Glauben die olympischen Götter Götter wären. — *τὸ μηδέν*] *pro nihilo* habuerint. Kr. Dial. 67, 1, A. 6. vgl. A. 4 u. 5.

579. *ἔργων*] Bei Homer heissen *die bebauten Felder* sehr oft (z. B. Od. 6, 259. 10, 98.) *ἔργ᾽ ἀνθρώπων* oder *ἀνδρῶν ἔργα*. 14, 344: *ἑσπέριοι δ᾽ Ἰθάκης εὐδειέλου ἔργ᾽ ἀφίκοντο.* 15, 505: *ἑσπέριος δ᾽ εἰς ἄστυ ἰδὼν ἐμὰ ἔργα* (*meine Felder*) *κάτειμι.* So Herod. 1, 36: ein Eber *τὰ τῶν Μυσῶν ἔργα διαφθείρεσκε.* Diese Bedeutung hat sich auch im Atticismus erhalten. Xen. Jagd 9, 11: *ἵστανται δὲ καὶ ποδοστράβαι ταῖς ἐλάφοις ἐν τοῖς ὄρεσι περὶ τοὺς λειμῶνας καὶ τὰ ῥεῖθρα, καὶ ἐν τοῖς ἔργοις.* 17: *ἐπισκοπεῖν δὲ τὰς μὲν ἐν*

κἄπειτ᾽ αὐτοῖς ἡ Δημήτηρ πυροὺς πεινῶσι μετρείτω. 580

ΕΥΕΛΠΙΔΗΣ.

οὐκ ἐθελήσει μὰ Δί᾽, ἀλλ᾽ ὄψει προφάσεις αὐτὴν παρέχουσαν.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

οἱ δ᾽ αὖ κόρακες τῶν ζευγαρίων, οἷσιν τὴν γῆν καταροῦσιν,

καὶ τῶν προβάτων τοὺς ὀφθαλμοὺς ἐκκοψάντων ἐπὶ πείρᾳ·

εἶθ᾽ ἁπόλλων ἰατρός γ᾽ ὢν ἰάσθω· μισθοφορεῖ δέ.

τοῖς ὄρεσιν ἑστώσας μάλιστα μὲν ἕωθεν, χρὴ δὲ καὶ τῆς ἄλλης ἡμέρας, ἐν δὲ τοῖς ἔργοις πρῴ. 18: *τὰ ἐπισύρματα τοῦ ξύλου καταφανῆ ἐν τοῖς ἔργοις.* Arrian. Peripl. pont. Eux. 15, 1: (*ὁ Ἅλυς*) *ὁρίζει τὰ Σινωπέων καὶ Ἀμισηνῶν ἔργα.*

580. *μετρείτω*] wie es zuweilen wohlhabende Bürger (oder die Behörden) zum Vortheil der ärmeren thaten. Demosth. 34, 39: *ὅτε δ᾽ ὁ σῖτος ἐπετιμήθη καὶ ἐγένετο ἑκκαίδεκα δραχμῶν, εἰσαγαγόντες πλείους ἢ μυρίους μεδίμνους πυρῶν διεμετρήσαμεν ὑμῖν τῆς καθεστηκυίας τιμῆς, πέντε δραχμῶν τὸν μέδιμνον.* Athen. 5, 214 F: *Ἀθηνίων δὲ χοίνικα κριθῶν εἰς τέσσαρας ἡμέρας διεμέτρει τοῖς ἀνοήτοις Ἀθηναίοις, ἀλεκτορίδων τροφὴν καὶ οὐκ ἀνθρώπων αὐτοῖς διδούς* (Dobree). Auch von Staatswegen fanden bei grosser Noth zuweilen solche freie Kornspenden (*σιτοδοσίαι*) statt; so Ol. 83, 4, als ein unbekannter Psammetich von Aegypten 40,000 Medimnen schenkte, und Ol. 89, 1, ein Jahr vor den Wespen, wo fünfzig Medimnen für den einzelnen Bürger versprochen, aber nur fünf vertheilt wurden (Böckh).

581. *οὐκ ἐθελήσει*] bitterer Hohn; denn er meint: auch wenn sie es wollte, wird sie es nicht *können*.

582. *κόρακες*] Ael. Thierk. 2, 51: *ὁ κόραξ ὁμόσε τοῖς ζῴοις χωρεῖ, οὐ μέντοι τοῖς βραχυτάτοις, ἀλλ᾽ ὄνῳ τε καὶ ταύρῳ· κάθηται γὰρ κατὰ τῶν τενόντων καὶ κόπτει αὐτούς, πολλῶν δὲ καὶ ὀφθαλμοὺς ἐξέκοψεν.* vgl. Aristot. Thierk. 9, 2, 6. Die bekannte Erzählung von Valerius Corvus Gell. 9, 11. — *καταροῦσιν*] sehr seltenes Compos. von *ἀρόω*. Im Ephebeneide nach Poll. 8, 106: *καὶ τὴν πατρίδα οὐκ ἐλάττω παραδώσω, πλεύσω δὲ καὶ καταρόσω, ὁπόσην* (*πλείω δὲ καὶ ἀρείω ὅσης* Stob.) *ἂν παραδέξωμαι.*

583. *ἐπὶ πείρᾳ*] *zum Beweise*, dass wir die Götter sind und die Macht in Händen haben. vgl. *πεῖραν λαβεῖν* und *διδόναι, ἐς πεῖραν ἐλθεῖν.*

584. *ἰατρός γ᾽ ὢν*] *si re vera est medicus* (Dobree). Plut. 11: *ἰατρὸς ὢν καὶ μάντις, ὥς φασιν, σοφός.* — *μισθοφορεῖ*] ein Seitenhieb auf die *Habgier* der griechischen *Aerzte*. Daran, dass sie Honorar erhielten, nahm der Grieche so wenig Anstoss wie wir; aber sie liessen es sich mitunter voraus zahlen (Ael. Mannigf. Gesch. 12, 1) und verweigerten, wenn sie es nicht erhielten, jede Hilfe. Achill. Tat. 4, 4: *προῖκα οὐκ ἀνοίγει τὸ στόμα, ἀλλ᾽ ἔστιν ἰατρὸς ἀλαζὼν καὶ τὸν μισθὸν πρῶτον αἰτεῖ* (Becker).

ΕΥΕΛΠΙΔΗΣ.

μή, πρίν γ' ἂν ἐγὼ τὼ βοιδαρίω τὼμῶ πρώτιστ' ἀποδῶμαι. 585

ΠΕΙΘΕΤΑΙΡΟΣ.

ἢν δ' ἡγῶνται σὲ θεόν, σὲ βίον, σὲ δὲ γῆν, σὲ Κρόνον, σὲ Ποσειδῶ,
ἀγάθ' αὐτοῖσιν πάντα παρέσται.

ΧΟΡΟΣ.

λέγε δή μοι τῶν ἀγαθῶν ἕν.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

πρῶτα μὲν αὐτῶν τὰς οἰνάνθας οἱ πάρνοπες οὐ κατέδονται,
ἀλλὰ γλαυκῶν λόχος εἷς αὐτοὺς καὶ κερχνήδων ἐπιτρίψει.
εἶθ' οἱ κνῖπες καὶ ψῆνες ἀεὶ τὰς συκᾶς οὐ κατέδονται, 590
ἀλλ' ἀναλέξει πάντας καθαρῶς αὐτοὺς ἀγέλη μία κιχλῶν.

ΧΟΡΟΣ.

πλουτεῖν δὲ πόθεν δώσομεν αὐτοῖς; καὶ γὰρ τούτου σφόδρ' ἐρῶσιν.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

τὰ μέταλλ' αὐτοῖς μαντευομένοις οὗτοι δώσουσι τὰ χρηστά,

585. *μή, πρίν*] Wo. 267. — *βοιδαρίω*] 'pes choriambus. cum enim semper Attici contracte dicant *βοίδιον, νοίδιον, ῥοίδιον, διπλοίδιον*, consequens est, ut contracte quoque secunda deminutiva dicant.' Porson.

586. *ἡγῶνται*] die Menschen. — Die folgenden Worte sind schwerlich unverderbt.

588. *οἰνάνθας*] Schol.: *οἰνάνθη ἡ πρώτη ἔκφυσις τῆς σταφυλῆς.* Fr. 1320.

589. *κερχνήδων*] zu 304.

590. *κνῖπες*] Hesych.: *κνῖπες, ζωύφια τῶν ξυλοφάγων.* Aristot. üb. Wahrnehm. 5: *καὶ τὸ τῶν μικρῶν μυρμήκων γένος, οὓς καλοῦσί τινες σκνῖπας.* Schneider zu Thierk. 4, 8, 15 hält sie für die kleine rothe Art. — *ψῆνες*] Aristot. Thierk. 5, 26, 3: *οἱ δὲ ἐρινεοὶ ἔχουσι τοὺς καλουμένους ψῆνας· γίγνεται δὲ τοῦτο πρῶτον σκωλήκιον, εἶτα περιρραγέντος τοῦ δέρματος ἐκπέτεται τοῦτο ἐγκαταλείπων ὁ ψὴν καὶ εἰσδύεται εἰς τὰ τῶν συκῶν ἐρινά.*

591. *κιχλῶν*] sicher unrichtig, da die positio debilis bei den Komikern nicht gilt (zu Wo. 320). Bruncks *κιττῶν* ist die wahrscheinlichste Vermutung. zu 302.

593. Was *τὰ μέταλλα τὰ χρηστά* sein sollen, wird schwer zu sagen sein, auch wie die Vögel dieselben den Menschen geben sollen. Deswegen würde sich Cobets *τὰ μὲν ἀλλ'* und Bergks *δείξουσι* sehr empfehlen, wenn nur nicht das eben vorangegangene *πλουτεῖν* zu den Bergwerken so vortrefflich passte.

τάς τ' ἐμπορίας τὰς κερδαλέας πρὸς τὸν μάντιν κατε-
ροῦσιν,
ὥστ' ἀπολεῖται τῶν ναυκλήρων οὐδείς. 595

ΧΟΡΟΣ.

πῶς οὐκ ἀπολεῖται;

ΠΕΙΘΕΤΑΙΡΟΣ.

προερεῖ τις ἀεὶ τῶν ὀρνίθων μαντευομένῳ περὶ τοῦ πλοῦ·
νυνὶ μὴ πλεῖ, χειμὼν ἔσται· νυνὶ πλεῖ, κέρδος ἐπέσται.

ΕΥΕΛΠΙΔΗΣ.

γαῦλον κτῶμαι καὶ ναυκληρῶ, κοὐκ ἂν μείναιμι παρ'
ὑμῖν.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

τοὺς θησαυρούς τ' αὐτοῖς δείξουσ', οὓς οἱ πρότερον κατ-
έθεντο,
τῶν ἀργυρίων· οὗτοι γὰρ ἴσασι· λέγουσι δέ τοι τάδε
πάντες· 600
οὐδεὶς οἶδεν τὸν θησαυρὸν τὸν ἐμὸν πλὴν εἴ τις ἄρ'
ὄρνις.

ΕΥΕΛΠΙΔΗΣ.

πωλῶ γαῦλον, κτῶμαι σμινύην, καὶ τὰς ὑδρίας ἀνορύττω.

598. *γαῦλον*] Eustath.: *γαῦλος γὰρ βαρυτόνως εἶδος πλοίου στρογγύλου, οὐ χρῆσις καὶ παρὰ τῷ κωμικῷ. γαυλὸς δὲ ὀξυτόνως ἀγγεῖον ποιμενικόν.* Daher das Wortspiel Antiphan. 224, 5: *γαυλοὺς ὁλοχρύσους.* — *πλοῖα;* — *τοὺς κάδους μὲν οὖν καλοῦσι γαυλοὺς πάντες.* Festus: *gaulus genus navigii paene rotundum.* Es scheint phönikischen Ursprungs. Kallim. Fragm. 217: *Κυπρόθε Σιδόνιός με κατήγαγεν ἐνθάδε γαῦλος.* Herod. 3, 136: *καταβάντες ἐς Σιδῶνα πόλιν τριήρεας δύο ἐπλήρωσαν καὶ γαῦλον μέγαν παντοίων ἀγαθῶν.*

599. *οἱ πρότερον*] *die Vorfahren:* denn auf *fremdem* Boden einen Schatz zu heben galt als ein Frevel, der nie Segen bringe. Plat. Ges. 11, 913 AB: *θησαυρόν, ὅν τις αὑτῷ καὶ τοῖς αὑτοῦ κειμήλιον ἔθετο μὴ τῶν ἐμῶν ὢν πατέρων, μήθ' εὑρεῖν ποτε θεοῖς εὐξαίμην μήθ' εὑρὼν κινήσαιμι* (Becker).

600. *ἴσασι*] wegen der Cäsur zu Wo. 987. — *δέ*] *γέ*?

601. *πλὴν εἰ*] zu Wo. 361. — Schol.: *παροιμία ἐστίν· οὐδείς με θεωρεῖ, πλὴν ὁ παριπτάμενος ὄρνις.*

602. Euelpides ist ganz der sanguinische Athener, der Wünsche und Hoffnungen mit wunderbarer Leichtigkeit den wechselnden Umständen anzupassen weiss. — *ὑδρίας*] Hor. Sat. 2, 6, 10: *o si urnam argenti fors quae mihi monstret.*

ΧΟΡΟΣ.

πῶς δ' ὑγίειαν δώσομεν αὐτοῖς, οὖσαν παρὰ τοῖσι θεοῖσιν;

ΠΕΙΘΕΤΑΙΡΟΣ.

ἢν εὖ πράττωσ', οὐχ ὑγιεία μεγάλη τοῦτ' ἐστί;

ΕΥΕΛΠΙΔΗΣ.

σάφ' ἴσθι·
ὡς ἄνθρωπός γε κακῶς πράττων ἀτεχνῶς οὐδεὶς ὑγιαίνει.

ΧΟΡΟΣ.

πῶς δ' ἐς γῆράς ποτ' ἀφίξονται; καὶ γὰρ τοῦτ' ἔστ' ἐν Ὀλύμπῳ. 606
ἢ παιδάρι' ὄντ' ἀποθνήσκειν δεῖ;

ΠΕΙΘΕΤΑΙΡΟΣ.

μὰ Δί', ἀλλὰ τριακόσι' αὐτοῖς
ἔτι προσθήσουσ' ὄρνιθες ἔτη.

ΧΟΡΟΣ.

παρὰ τοῦ;

ΠΕΙΘΕΤΑΙΡΟΣ.

παρ' ὅτου; παρ' ἑαυτῶν.
οὐκ οἶσθ' ὅτι πέντ' ἀνδρῶν γενεὰς ζώει λακέρυζα κορώνη;

604. *ὑγιεία*] Chörobosk.: (in dem Wort *ὑγίεια*) *οἱ Ἀθηναῖοι ἐκτείνοντες τὸ α καὶ καταβιβάζοντες τὸν τόνον φυλάττουσι τὴν αὐτὴν γραφήν.* Da hiermit auch andere Grammatiker übereinstimmen und *ἀγνοία* für *ἄγνοια* durch zwei (vielleicht drei) Stellen des Sophokles gesichert ist, so wird an der Existenz von *ὑγιεία* neben dem weit häufigeren *ὑγίεια* nicht zu zweifeln sein.

605. *κακῶς πράττων*] in dem Doppelsinn von *krank* und *in dürftigen Umständen.* Weil der *ὑγιαίνων* nie *κακῶς πράττων* im ersten Sinne sein kann, so schliesst Euelpides vermittelst der komischen Logik, dass der *κακῶς πράττων* im zweiten Sinne nie gesund und umgekehrt der *εὖ πράττων* nie krank sein kann. Ariphron auf die Gesundh. 7: *μετὰ σεῖο, μάκαιρ' Ὑγίεια, τέθαλε πάντα καὶ λάμπει Χαρίτων ἔαρι, σέθεν δὲ χωρὶς οὔτις εὐδαίμων ἔφυ.* Sophokl. Fragm. 325: *εἰσὶ δ' οἵτινες αἰνοῦσιν ἄνοσον ἄνδρ'· ἐμοὶ δ' οὐδεὶς δοκεῖ εἶναι πένης ὢν ἄνοσος, ἀλλ' ἀεὶ νοσεῖν.* Aus dieser Anschauung entstand der Begriff der *πλουθυγίεια* (731). zu Ri. 1091.

608. *παρ' ὅτου;*] zu 164. zu Wo. 214.

609. *πέντε*] Hesiod. Fragm. 163: *ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη ἀνδρῶν ἡβώντων· ἔλαφος δέ τε τετρακόρωνος.* Plin. N. H. 7, 48, 49: *Hesiodus fabulose, ut reor, multa de hominum aevo referens cornici novem nostras attribuit aetates, quadruplum eius cervis, id triplicatum corvis.* Nach einem deutschen Märchen setzen Esel, Hund und Affe von ihren Jahren den Menschen bis auf 70 Jahre zu. — *λακέρυζα*] auch Hesiod. Tagew. 747. Phot.: *λακέ-*

ΕΥΕΛΠΙΔΗΣ.

βαβαί, ὡς πολλῷ κρείττους οὗτοι τοῦ Διὸς ἡμῖν βασι-
λεύειν. 610

ΠΕΙΘΕΤΑΙΡΟΣ.

οὐ γὰρ πολλῷ;
πρῶτον μέν γ᾽ οὐχὶ νεὼς ἡμᾶς
οἰκοδομεῖν δεῖ λιθίνους αὐτοῖς,
οὐδὲ θυρῶσαι χρυσαῖσι θύραις,
ἀλλ᾽ ὑπὸ θάμνοις καὶ πρινιδίοις 615
οἰκήσουσιν. τοῖς δ᾽ αὖ σεμνοῖς
τῶν ὀρνίθων δένδρον ἐλάας
ὁ νεὼς ἔσται· κοὐκ ἐς Δελφοὺς
οὐδ᾽ ὡς Ἄμμων᾽ ἐλθόντες ἐκεῖ
θύσομεν, ἀλλ᾽ ἐν ταῖσιν κομάροις 620
καὶ τοῖς κοτίνοις στάντες, ἔχοντες
κριθάς, πυροὺς εὐξόμεθ᾽ αὐτοῖς
ἀνατείνοντες τὼ χεῖρ᾽ ἀγαθῶν

ρυζα κορώνη· ἡ μεγάλα κράζουσα (*κρώζουσα?*) Hesych.: *λακέρυζα· κράκτρια, λοίδορος, φλύαρος, μέγα κράζουσα κορώνη.* '*λακέρυζα* epitheton *canis* et *cornicis* a verbo *λακεῖν* occulto quodam tramite deductum opinor.' Lobeck.

610. *ἡμῖν*] *für uns*, die Menschen, ist die Herrschaft dieser, der Vögel, weit vortheilhafter. Euelpides denkt augenblicklich nicht daran, dass er die Menschenwelt für immer verlassen hat. Ebenso Peithet. im folgenden.

612. *πρῶτον μέν γε*] Ekkl. 60: *πρῶτον μέν γ᾽ ἔχω τὰς μασχάλας λόχμης δασυτέρας.* Lys. 589: *πρώτιστον μέν γε τεκοῦσαι* (*διπλοῦν τὸν πόλεμον φέρομεν*). Reisig.

613. *λιθίνους*] *marmorne*, wie der Parthenon der Athene.

616. *σεμνοῖς*] Die dei minorum gentium unter den Vögeln werden sich mit Gebüschen als Tempeln begnügen; die dei maiorum gentium, die grössere Ansprüche machen, mögen sich einen Oelbaum dazu wählen. Unkosten erwachsen daraus in keinem Falle.

617. *δένδρον*] Plin. N. H. 12, 1, 2: *arbores fuere numinum templa, priscoque ritu simplicia rura etiamnunc deo praecellentem arborem dicant. nec magis auro fulgentia atque ebore simulacra quam lucos et in eis silentia ipsa adoramus.* vgl. Hor. Carm. 3, 22.

618. *Δελφοὺς*] 716.

620. *κομάροις* und *κοτίνοις*] zu 240.

621. *στάντες*] Der Grieche betete in der Regel stehend; 'kniende oder niedergeworfene Stellung ist, auch wo sie vorkommt, als ausländischer Gebrauch zu betrachten.' K. H.

623. *ἀνατείνοντες*] 'Die feierliche Stellung des betenden war, die Hände nach der Gegend auszustrecken, wo man die Anwesenheit und den Sitz der Gottheit annahm; also in der Regel gen Himmel.' K. H. Eur. Iph. T. 268: *θεοσεβὴς δ᾽ ἡμῶν τις ὢν ἀνέσχε χεῖρα καὶ*

διδόναι τὸ μέρος· καὶ ταῦθ' ἡμῖν
παραχρῆμ' ἔσται 625
πυροὺς ὀλίγους προβαλοῦσιν.

ΧΟΡΟΣ.

ὦ φίλτατ' ἐμοὶ πολὺ πρεσβυτῶν ἐξ ἐχθίστου μεταπίπτων,
οὐκ ἔστιν ὅπως ἂν ἐγώ ποθ' ἑκὼν τῆς σῆς γνώμης ἔτ' ἀφείμην.
ἐπαυχήσας δὲ τοῖσι σοῖς λόγοις
ἐπηπείλησα καὶ κατώμοσα, 630
ἐὰν σὺ παρ' ἐμὲ θέμενος ὁμόφρονας λόγους
δίκαιος, ἄδολος, ὅσιος ἐπὶ θεοὺς ἴῃς,
ἐμοὶ φρονῶν ξυνῳδά, μὴ πολὺν χρόνον
θεοὺς ἔτι σκῆπτρα τἀμὰ τρίψειν. 635
ἀλλ' ὅσα μὲν δεῖ ῥώμῃ πράττειν, ἐπὶ ταῦτα τεταξόμεθ' ἡμεῖς·
ὅσα δὲ γνώμῃ δεῖ βουλεύειν, ἐπὶ σοὶ τάδε πάντ' ἀνάκειται.

προσεύξατ' εἰσιδών. Hel. 1095: *Ἥρα, αἰτούμεθ' ὀρθὰς ὠλένας πρὸς οὐρανὸν ῥίπτονθ', ἵν' οἰκεῖς ἀστέρων ποικίλματα.*

627. *φίλτατε*] Assimilation im Vocativ für *ὦ μεταπίπτων μοι φίλτατος ἐξ ἐχθίστου.* Theokr. 17, 66: *ὄλβιε κῶρε γένοιο.* — *μεταπίπτων*] Lykurg. Leokr. 60: *ἀνθρώπῳ ζῶντι ἐλπὶς ἐκ τοῦ κακῶς πρᾶξαι μεταπεσεῖν.*

631. *παρ' ἐμὲ*] dem militärischen Ausdruck *τίθεσθαι τὰ ὅπλα παρά τινα, arma cum aliquo coniungere,* nachgebildet. Thuk. 2, 2, 4: *ἀνεῖπεν ὁ κῆρυξ, τίθεσθαι παρ' αὐτοὺς τὰ ὅπλα.* 4, 68, 2: *κηρῦξαι τὸν βουλόμενον ἰέναι μετὰ Ἀθηναίων θησόμενον τὰ ὅπλα.*

632. *δίκαιος, ἄδολος*] stehende Ausdrücke in Verträgen. Lys. 168: *καὶ τὼς μὲν ἁμῶν ἄνδρας ἁμὲς πείσομες παντᾶ δικαίως ἄδολον εἰρήνην ἄγειν.* Im Frieden des Nikias Thuk. 5, 18, 2: *ἔτη δὲ εἶναι τὰς σπονδὰς πεντήκοντα, ἀδόλους καὶ ἀβλαβεῖς.* 5, 18, 9: *ἐμμενῶ ταῖς ξυνθήκαις ταῖσδε δικαίως καὶ ἀδόλως.* In dem darauf folgenden Bündnis 5, 23, 2 u. 3: *ταῦτα δ' εἶναι δικαίως καὶ προθύμως καὶ ἀδόλως.* In dem Bündnis mit Argos usw. 5, 47, 10: *ἐμμενῶ τῇ ξυμμαχίᾳ δικαίως καὶ ἀβλαβῶς καὶ ἀδόλως.*

633. *ἐπὶ*] den Göttern *zu Leibe* gehst.

635. *τρίψειν*] Arrian. Epikt. 3, 24, 15: *ταῦτα ἔχων ἀεὶ ἐν χερσὶν καὶ τρίβων αὐτὸς παρὰ σαυτῷ οὐδέποτε δεήσῃ τοῦ παραμυθουμένου.*

636. *τεταξόμεθα*] Kr. 53, 9, A. 2.

637. *ἐπὶ*] Die gewöhnliche Verbindung ist: *ἀνατιθέναι τινί τι* (546) und *ἀνάκειταί τινί τι.* Aber wie hier Antiphon 5, 6: *ἅπαντα γὰρ τὰ ἐν ἀδήλῳ ἔτ' ὄντα ἐπὶ τῇ τύχῃ μᾶλλον ἀνάκειται ἢ τῇ προνοίᾳ.* Bei Herodot öfters *ἀνάκειταί τι εἴς τινα* (z. B. 1, 97. 3, 31). Man beachte auch den schönen Parallelismus der beiden Verse. Der

ΕΠΟΨ.

καὶ μὴν μὰ τὸν Δί' οὐχὶ νυστάζειν γ' ἔτι
ὥρα 'στὶν ἡμῖν οὐδὲ μελλονικιᾶν,
ἀλλ' ὡς τάχιστα δεῖ τι δρᾶν· πρῶτον δέ τοι 640
εἰσέλθετ' ἐς νεοττιάν γε τὴν ἐμὴν
καὶ τἀμὰ κάρφη καὶ τὰ παρόντα φρύγανα,
καὶ τοὔνομ' ἡμῖν φράσατον.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

ἀλλὰ ῥᾴδιον.
ἐμοὶ μὲν ὄνομα Πειθέταιρος, τῳδεδὶ
Εὐελπίδης Κριῶθεν. 645

Gegensatz von *ῥώμη* und *γνώμη*, wie Demosth. 8, 75: *τὰ μὲν ἔργα παρ' ὑμῶν αὐτῶν ζητεῖτε, τὰ δὲ βέλτιστα ἐπιστήμῃ λέγειν παρὰ τοῦ παριόντος.* Grabschrift des Demosth.: *εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, εἶχες, οὔποτ' ἂν Ἑλλήνων ἦρχεν Ἄρης Μακεδών* (Köchly).

638. *καὶ μὴν — γ'*] 'saepe additur *γε* in eadem sententia cum *ἀλλὰ μήν, καὶ μήν, οὐδὲ μήν, οὐ μήν*, sed numquam nisi interposito alio verbo. Soph. Oed. R. 987: *καὶ μὴν μέγας γ' ὀφθαλμὸς οἱ πατρὸς τάφοι.*' Porson.

639. *μελλονικιᾶν*] *nach Nikias Art zu zaudern.* Wir könnten stolz übersetzen: zu *wartenburgern.* Plut. Nik. 8 irrt, wenn er diese Verse auf das Benehmen des Nikias Kleon gegenüber in der Angelegenheit von Pylos (Einl. Ri. § 15. 16) bezieht: der Dichter deutet auf die Volksversammlung, in welcher er den Zug gegen Sikelien zu spät zu verhindern suchte. Einl. § 10. 11. Thuk. 6, 25, 1: *καὶ τέλος παρελθών τις τῶν Ἀθηναίων καὶ παρακαλέσας τὸν Νικίαν οὐκ ἔφη χρῆναι προφασίζεσθαι οὐδὲ διαμέλλειν, ἀλλ' ἐναντίον ἁπάντων ἤδη* (tandem aliquando) *λέγειν ἥντινα αὐτῷ παρασκευὴν Ἀθηναῖοι ψηφίσωνται.* Nach Plut. Nik. 12 war der *quidam* Demostratos: *ἀναστὰς ὁ μάλιστα τῶν δημαγωγῶν ἐπὶ τὸν πόλεμον παροξύνων Δημόστρατος ἔφη τὸν Νικίαν προφάσεις λέγοντα παύσειν.* Auch sonst übertrieb er die Vorsicht. Plut. Nik. 6: *ὅπου αὐτὸς στρατεύοιτο, τῆς ἀσφαλείας ἐχόμενος καὶ τὰ πλεῖστα κατορθῶν παρεχώρει* (ging aus dem Wege) *τῇ τύχῃ.* 16: *πάντες ᾐτιῶντο (τὸν Νικίαν), ὡς ἐν τῷ διαλογίζεσθαι καὶ μέλλειν καὶ φυλάττεσθαι τὸν τῶν πράξεων ἀπολλύντα καιρόν. ὁρμήσας γὰρ ἦν ἐνεργὸς καὶ δραστήριος, τολμῆσαι δὲ μελλητὴς καὶ ἄτολμος.*

641. *νεοττιάν*] 'pro *νεοσσία* (*ττ*), *nidus*, Arist. Avv. 641, Theophr. Caus. plant. 2, 24 etc. rectius scribitur *νεοσσιά*, ut *σφηκιά*.' Lobeck.

642. Colum. R. R. 8, 15: *festucae surculique passim in aviariis spargendi sunt, ut conligere possint aves, quibus nidos construant.* Mir scheint der Vers aus einem anderen Lustspiel von einer passenderen Stelle hierher übertragen zu sein: er lässt sich ohne Schaden, vielmehr zum Gewinn des Satzes ausscheiden.

644. *τῳδεδί*] zu 11.

645. *Κριῶθεν*] Harpokr.: *Κριωεύς· Δημοσθένης ἐκ τῷ πρὸς Φαίνιππον* (42, 11). *δῆμός ἐστι τῆς Ἀντιοχίδος Κριώα, ὥς φησι*

ΕΠΟΨ.

ἀλλὰ χαίρετον

ἄμφω.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

δεχόμεθα.

ΕΠΟΨ.

δεῦρο τοίνυν εἴσιτον.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

ἴωμεν· εἰσηγοῦ σὺ λαβὼν ἡμᾶς.

ΕΠΟΨ.

ἴθι.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

ἀτὰρ τὸ δεῖνα· δεῦρ' ἐπανάκρουσαι πάλιν.
φέρ' ἴδω, φράσον νῷν, πῶς ἐγώ τε χοὐτοσὶ
ξυνεσόμεθ' ὑμῖν πετομένοις οὐ πετομένω; 650

ΕΠΟΨ.

καλῶς.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

ὅρα νυν, ὡς ἐν Αἰσώπου λόγοις
ἐστὶν λεγόμενον δή τι, τὴν ἀλώπεχ', ὡς
φλαύρως ἐκοινώνησεν ἀετῷ ποτε.

Διόδωρος ἐν τῷ περὶ τῶν δήμων.

647. *ἴθι* sagt der Epops zunächst zu Peithet., mit dem er so eben gesprochen hat. Euelpides wird, wenn Peith. folgt, nicht zurückbleiben.

648. *τὸ δεῖνα*] 'ita loquuntur, quibus *subito in mentem venit aliquid rogare aut monere,* quod in rem praesentem faciat, cuius adhuc fuerint immemores.' Cobet. Lys. 921: *καίτοι τὸ δεῖνα· ψίαθός ἐστ' ἐξοιστέα,* 926: *καίτοι τὸ δεῖνα· προσκεφάλαιον οὐκ ἔχεις.* Wesp. 524. Fried. 268. 879. — *ἐπανάκρουσαι*] vollständig *πρύμναν (ἀνα) κρούεσθαι.* Schol. Thuk. 1, 50: *πρύμναν ἀνακρούεσθαί ἐστι τὸ κατ' ὀλίγον ἀναχωρεῖν μὴ στρέψαντα τὸ πλοῖον· ὁ γὰρ οὕτως ἀναχωρῶν ἐπὶ τὴν πρύμναν κωπηλατεῖ.* Liv. 26, 39: *retro inhibere navem: 'sich ohne zu wenden krebsartig zurückziehen'* Kr.; bei Herodot auch *ἐπὶ πρύμνην ἀνακρούεσθαι.*

649. *ἐγώ τε χοὐτοσὶ*] *ἐμέ τε καὶ τουτονί* Ri. 1159.

651. *Αἰσώπου*] zu 471. Nach den Schol. und Hermog. (zu 471) ist die Fabel vielmehr von *Archilochos.* Die unter den äsopischen erhaltene vom Adler und dem Fuchs (5 bei Halm) scheint dem Inhalte nach sehr ähnlich zu sein: der vom Adler trotz der gelobten Freundschaft schwer verletzte Fuchs *χερσαία οὖσα πτηνὸν διώκειν ἠδυνάτει.*

652. *τὴν ἀλώπεκα*] auffallende Vermischung zweier Constructionen: *τὴν ἀλώπεκα κοινωνῆσαι* und *ἡ ἀλώπηξ ὡς ἐκοινώνησεν.* Anders als Kr. 55, 4, A. 7 u. 10. Hier hat wohl *ὅρα* (651) noch eingewirkt. Aehnlich 1269 f.

653. *φλαύρως*] d. h. *cum damno*

ΕΠΟΨ.

μηδὲν φοβηθῇς· ἔστι γάρ τι ῥίζιον,
ὃ διατραγόντ' ἔσεσθον ἐπτερωμένω. 655

ΠΕΙΘΕΤΑΙΡΟΣ.

οὕτω μὲν εἰσίωμεν. ἄγε δή, Ξανθία
καὶ Μανόδωρε, λαμβάνετε τὰ στρώματα.

ΧΟΡΟΣ.

οὗτος, σὲ καλῶ, σὲ καλῶ.

ΕΠΟΨ.

τί καλεῖς;

ΧΟΡΟΣ.

τούτους μὲν ἄγων μετὰ σαυτοῦ
ἀρίστισον εὖ· τὴν δ' ἡδυμελῆ ξύμφωνον ἀηδόνα Μούσαις
κατάλειφ' ἡμῖν δεῦρ' ἐκβιβάσας, ἵνα παίσωμεν μετ'
ἐκείνης. 660

ΠΕΙΘΕΤΑΙΡΟΣ.

ὦ τοῦτο μέντοι νὴ Δί' αὐτοῖσιν πιθοῦ·
ἐκβίβασον ἐκ τοῦ βουτόμου τοὐρνίθιον.

suo. Herod. 6, 94: *Μαρδόνιον φλαύρως πρήξαντα τῷ στόλῳ παραλύει τῆς στρατηγίας.* Lys 1041: *οὐκέτι οὔτε δράσω φλαῦρον οὐδὲν οὔθ' ὑφ' ὑμῶν πείσομαι.*

654. *ῥίζιον*] Sollte sich diese Wurzel nicht auch in den Mythen anderer indogermanischer Völker nachweisen lassen? — Unten (1305 ff.), wo es darauf ankommt, nicht dass ein jeder Flügel erhalte, sondern dass ein jeder mit einer bestimmten Art von Beflügelung nach verschiedenen Vogelnaturen passend für sein Verlangen und für seine Art versehen werde' (Lehrs), ist das 'Würzelchen' nicht mehr anwendbar.

656. *οὕτω*=*ὡς ὧδ' ἐχόντων.* Der Sklavenname *Xanthias* ist aus den Fröschen bekannt, *Manodoros* eine Ableitung von *Μανῆς*, zu 523. 1329. Die beiden sind Sklaven des Peithetäros und Euelpides und haben *das Gepäck* (*τὰ στρ.*, zu Fr. 8. 165) getragen.

659. *ἀρίστισον*] Ri. 538. *ἀριστᾶν frühstücken, ἀριστίζειν zum Frühstück bewirten.* Kom. Diod. 2, 12: *ἀριστίσας ἑαυτόν, ἐντραγών, πιών.* — *ξύμφωνον Μούσαις*] 221.

661. *ὦ πιθοῦ*] Soph. Fragm. 58: *βοᾷ τις· ὦ ἀκούετε.* 393: *ὦ ἀμφ' ἐμοῦ στεῖλαι.* So, ganz ohne Vocativ, nicht oft. Denn Lys. 836 und Ekkl. 160 sind anderer Art.

662. *βουτόμου*] Geop. 2, 6, 28: *βούτομον γίνεται ἐν τοῖς ἕλεσι, φύλλα δὲ φέρει ὅμοια λειρίοις. οἱ βόες αὐτὰ ἡδέως βόσκονται, καὶ ἐκβράσσουσι δ' ἐκ μιᾶς ῥίζης οὐ καθ' ἕν, ἀλλ' ὡς οἱ θάμνοι.* Daher rechnet es Theophr. Pflanzenk. 4, 8, 1 zu den *λοχμώδη* unter den Wassergewächsen. Ders. 4, 10, 7: *τὸ πρὸς ταῖς ῥίζαις ἁπαλὸν μάλιστα ἐσθίει τὰ παιδία.* 'butomum umbellatum comparavit cum aliis Sprengel; sparganii (*Igelsknospe*) speciem potius intellegit Stackhouse.' Schneider. Theokr. 13, 35: *λειμὼν γάρ σφιν ἔκειτο, ἔνθα βούτομον ὀξὺ βαθύν τ' ἐτάμοντο κύπειρον.*

ΕΥΕΛΠΙΔΗΣ.

ἐκβίβασον αὐτοῦ πρὸς θεῶν αὐτήν, ἵνα
καὶ νὼ θεασώμεσθα τὴν ἀηδόνα.

ΕΠΟΨ.

ἀλλ' εἰ δοκεῖ σφῷν, ταῦτα χρὴ δρᾶν. ἡ Πρόκνη, 665
ἔκβαινε καὶ σαυτὴν ἐπιδείκνυ τοῖς ξένοις.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

ὦ Ζεῦ πολυτίμηθ', ὡς καλὸν τοὐρνίθιον,
ὡς δ' ἁπαλόν, ὡς δὲ λευκόν.

ΕΥΕΛΠΙΔΗΣ.

ἆρά γ' οἶσθ' ὅτι
ἐγὼ διαμηρίζοιμ' ἂν αὐτὴν ἡδέως;

ΠΕΙΘΕΤΑΙΡΟΣ.

ὅσον δ' ἔχει τὸν χρυσόν, ὥσπερ παρθένος. 670

ΕΥΕΛΠΙΔΗΣ.

ἐγὼ μὲν αὐτὴν κἂν φιλῆσαί μοι δοκῶ.

663. αὐτοῦ] Schol.: αὐτόθι, ἐν τῷ θεάτρῳ, *auf der Bühne*. Da aber Euelpides selbst auf der Bühne ist, so müsste vielmehr ἐνθάδε oder mit Rücksicht auf ἐκβίβασον δεῦρο erwartet werden. Wahrscheinlich ist αὐτοῖς (Meineke) zu lesen: *mach' ihnen den Spass und* usw.

665. ἡ Πρόκνη] zu 15; wegen des Nominativs Kr. 45, 2, A. 6.

667. πολυτίμητε] fast ausschliesslich Beiwort der *Götter*. Daher der Scherz mit dem Megarer Ach. 759: παρ' ἁμὲ πολυτίματος (ὁ σῖτος), ἅπερ οἱ θεοί. vgl. Wesp. 1001. Antiphan. 143. Menand. 521. Zeus wird Ri. 1390. Fragm, 314. Pherekr. 72. Eubul. 116. Menand. 341. 1009, Herakles Ach. 807, Thesm. 286 Demeter, Fr. 337 Persephone, 398 Iakchos, Fried. 978 Eirene, Wo. 269. 293. 328 die Wolken so angeredet, und nur Fr. 851: ὦ πολυτίμητ' Αἰσχύλε.

668. Kratin. 183 vom Mendäerwein, wie verliebt in ihn: οἴμ' ὡς ἁπαλὸς καὶ λευκός.

669. διαμηρίζοιμι] Hesych.: διαμηρίσαι· τοῦτο καὶ ἐπὶ παίδων καὶ ἐπὶ θηλειῶν ἔλεγον. vgl. 706. 1254.

670. Der *Flötenspieler*, der die Parabase des Chors einzuleiten und zu begleiten (?) hat (685 ff., vgl. 683 f.), ist halb wie eine Nachtigal, halb wie ein 'goldgeschmücktes Mädchen' herausgeputzt. 'Frauen und Mädchen trugen nicht nur Ohrringe, sondern *vielfältigen Goldschmuck* um Hals, Arme und selbst am Unterschenkel über den Knöcheln.' Becker. Hom. Il. 2, 872: ὃς καὶ χρυσὸν ἔχων πόλεμόνδ' ἴεν, ἠύτε κούρη. Ein Dichter bei Athen. 13, 564 B: οὔτε παιδὸς ἄρσενος οὔτε παρθένων τῶν χρυσοφόρων καλὸν τὸ πρόσωπον, ἣν μὴ κόσμιον πεφύκῃ (Porson). Daher Ach. 258 die Mutter der Tochter räth: φυλάττεσθαι σφόδρα, μή τις λαθών σου περιτράγῃ τὰ χρυσία.

671. κἂν φιλῆσαι] mir kommt es so vor, *als ob ich sie selbst küssen könnte*. vgl. Ri. 620. Lys. 115: ἐγὼ δὲ κἂν δοκῶ δοῦναι ἐμαυτῆς θήμισυ.

ΠΕΙΘΕΤΑΙΡΟΣ.

ἀλλ', ὦ κακόδαιμον, ῥύγχος ὀβελίσκοιν ἔχει.

ΕΥΕΛΠΙΔΗΣ.

ἀλλ' ὥσπερ ᾠὸν νὴ Δί' ἀπολέψαντα χρὴ
ἀπὸ τῆς κεφαλῆς τὸ λέμμα κᾆθ' οὕτω φιλεῖν.

ΕΠΟΨ.

ἴωμεν. 675

ΠΕΙΘΕΤΑΙΡΟΣ.

ἡγοῦ δὴ σὺ νῷν τύχἀγαθῇ.

ΧΟΡΟΣ.

ὦ φίλη, ὦ ξουθή,
ὦ φίλτατον ὀρνέων
πάντων, ξύννομε τῶν ἐμῶν
ὕμνων, ξύντροφ' ἀηδοῖ,
ἦλθες, ἦλθες, ὤφθης, 680
ἡδὺν φθόγγον ἐμοὶ φέρουσ'·
ἀλλ' ὦ καλλιβόαν κρέκουσ'
αὐλὸν φθέγμασιν ἠρινοῖς,
ἄρχου τῶν ἀναπαίστων.
ἄγε δὴ φύσιν ἄνδρες ἀμαυρόβιοι, φύλλων γενεᾷ προσό-
μοιοι, 685

672. ὀβελίσκοιν] einen aus zwei Spiessen gebildeten Schnabel; vgl. 686 und κρόκης χόλιξ Wesp. 1144 (Dobree). Durch die Begierde des Euelpides nach einem Kuss wird, wie es scheint, die passende Gelegenheit zur Ablegung des Schnabels mit der Vogelmaske eingeleitet, welche die Frau Nachtigal bei ihrem Flötenspiel (zu 670) nicht brauchen kann.

674. τὸ λέμμα] d. h. hier τὸ προσωπεῖον. — κᾆτα] zu 536.

675. τύχἀγαθῇ] zu 435.

